# Thalés

v tradici o Sedmi mudrcích

Stobaios, Anthologium III, 1, 172, 49 - 61:

(Δημητρίου Φαληρέως τῶν ἑπτὰ σοφῶν ἀποφθέγματα·)

δ Θαλῆς Ἐξαμίου Μιλήσιος ἔφη·
Ἐγγύα, πάρα δ᾽ ἄτα.
Φίλων παρόντων καὶ ἀπόντων μέμνησο.
Μὴ τὴν ὄψιν καλλωπίζου, ἀλλ᾽ ἐν τοῖς ἐπιτηδεύμασιν ἴσθι καλός.
Μὴ πλούτει κακῶς.
Μή σε διαβαλλέτω λόγος πρὸς τοὺς πίστεως κεκοινωνηκότας.
Κολακεύειν γονεῖς μὴ ὄκνει.
Μὴ προσδέχου τὸ φαῦλον.
Οἵους ἂν ἐράνους ἐνέγκῃς τοῖς γονεῦσι, τούτους αὐτοὺς ἐν τῷ γήρᾳ παρὰ τῶν τέκνων προσδέχου.
Χαλεπὸν τὸ εὖ γνῶναι.
Ἥδιστον τὸ ἐπιθυμίας τυχεῖν.
Ἀνιαρὸν ἀργία. Βλαβερὸν ἀκρασία. Βαρὺ ἀπαιδευσία.
Δίδασκε καὶ μάνθανε τὸ ἄμεινον.
Ἀργὸς μὴ ἴσθι, μηδ᾽ ἂν πλουτῇς.
Κακὰ ἐν οἴκῳ κρύπτε.
Φθόνου χάριν μὴ οἰκτείρου.
Μέτρῳ χρῶ.
Μὴ πᾶσι πίστευε.
Ἄρχων κόσμει σεαυτόν.